# TEZAUR LITURGIC

## 22 IANUARIE

# SLUJBA

# SF.CUVIOS-MUCENIC

# ANASTASIE

# PERSUL

# DE LA IERUSALIM

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 22 ΙΑΝΟΥΑΡΙΟΥ
# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ
# ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν Ψαλμόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄ καί ψάλλομεν τά παρόντα Στιχηρά Προσόμοια τοῦ Ἁγίου, δευτεροῦντες αὐτά.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Τοῦ κόσμου τά πέρατα τά σά, νῦν ἐξάδει θαύματα, θαυματουργέ Ἀναστάσιε· θαυματουργίαις γάρ ἀμειβόμενός σε, ὁ Χριστός ἐκόσμησε, βασάνους δι’ αὐτόν, ὑπομείναντα, καί μετά θάνατον, ἀθανάτου κατηξίωσεν, εὐδοξίας καί μακαριότητος.

Μάρτυς Ἀναστάσιε, στεῤῥά ἀναστήσας τρόπαια, κατά τῆς πλάνης ἀπείληφας, διπλοῦν τόν στέφανον, τῆς ἀσκήσεώς σου, καί στεῤῥᾶς ἀθλήσεως, καί μέχρι θανάτου ἐνστάσεως· καί θαυμάτων τῶν σῶν, ἐπαξίως τήν ἐνέργειαν, ὁ Δεσπότης Χριστός ἐδωρήσατο.

Μαρτύρων τό καύχημα, λαμπρά, ἀναστήσας τρόπαια, κατά τῆς πλάνης ὁμώνυμον, παμμάκαρ εὔκλειαν, τῇ σῇ κλήσει φέρεις, πανταχοῦ φερόμενος στεῤῥός ὡς νικητής Ἀναστάσιε· καί νῦν ἀνάστησον, ἐκ πταισμάτων καταπτώσεως, τούς ἐν πίστει τιμῶντας τήν μνήμην σου.

Δόξα. Ἦχος πλ. β΄.

Δεῦτε οὖν φιλέορτοι μελῳδήσωμεν, τῶν ἐκ Περσίδος φανέντα, δεῦτε καί τοῖς στέμμασι τῶν εὐφημιῶν ἀναδήσωμεν, τόν Ὅσιον καί Μάρτυρα Ἀναστάσιον· τόν ἐν Περσίδι ἀθλήσαντα, ῥάβδοις τύπτεται ἀφειδῶς, καί τῇ χειρί ἀναρτᾶται· εἶτα βρόχου ἐξαφθέντος αὐτοῦ τῷ τραχήλῳ, κωλύεται ἀναπνεῖν, καί μικρόν ἔτι ἀναπνέων, ἀφαιρεῖται τήν κεφαλήν·παραδούς τό πνεῦμα συναγάλλεται τῷ Χριστῷ,καί ἱκετηρίαν ποιεῖται ὑπέρ ἡμῶν, τῶν ἐν πίστει τελοῦντων ἀεί τά μνημόσυνα.

Καί νῦν. Θεοτοκίον.

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ἀνυμνήσει σου τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος ἄνθρωπος δι’ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ’ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε, σεμνή Παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, τό Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας καί τά Ἀναγνώσματα·

Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα, (μγ΄9 –14).

Τάδε λέγει Κύριος. Πάντα τά ἔθνη συνήχθησαν ἅμα, καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ

ταῦτα ἐν αὐτοῖς; ἢ τά ἐξ ἀρχῆς τίς ἀκουστά ποιήσι ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καί ἐγώ μάρτυς, λέγει Κύριος ὁ Θεός, καί ὁ παῖς μου, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καί πιστεύσητε, καί συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καί μετ᾽ ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα, καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες καί ἐγώ Κύριος ὁ Θεός· ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καί τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ ᾿Ισραήλ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα, (γ΄,1 -9).

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσίν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι

λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα,
(ε΄, 15 - 23 & ς΄, 1 - 3).

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν ἀλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλίσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε, μάθετε

δικασταί περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

Εἰς τήν Λιτήν. Ἰδιόμελα.

Ἦχος α'.

Ὅσιε καί Μάρτυς Ἀναστάσιε, σύ τοῦ ἀμηχάχου κάλλους τοῦ Χριστοῦ ἐφιέμενος, ῥέουσαν δόξαν, καί ἡδοναί τάς τοῦ σώματος ἐβδελύξω, διό ἀσκήσει και ἀθλήσει ὑπερεκλάμψας, ὡς ὁ ἥλιος λάμπων παρίστασαι τῷ Χριστῷ, καί διηνεκῶς αὐτῷ πρεσβεύεις, τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

Ἦχος β'.

Τήν στενήν καί τεθλιμμένην τρίβον διώδευσας, κατά τήν φωνήν τοῦ Δεσπότου, Παμμάκαρ Ἀναστάσιε, καί νηστείαις καί κακουχίαις, τήν σάρκαν κατεμάρανας ὑπερφυῶς, τόν δυσμενῆ τῶν ψυχῶν κατέῤῥαξας, καί νῦν, μετ᾽ Ἀγγέλων εὐφρένῃ ἀοίδιμε, τόν Σωτῆρα δυσωπῶν, τοῦ σωθῆναι ἡμᾶς, ἐκ παντοίων κινδύνων καί περιστάσεων.

Ἦχος γ'.

Πῶς μή θαυμάσωμεν τούς ἀσκητικούς σου, καί μαρτυρικούς πόνους Πανσεβάσμιε; σύ γάρ ἐκ Περσίδος ἐλθών, ὡς κρίνων ἀσκητικῶν καί ἀθλητικῶν, ὡς ἐν λειμῶνι ἐξήνθησας· καί τήν τοῦ Χριστοῦ Ἐκκλησίαν, πνοαῖς βασάνων ποικίλων, τῇ τοῦ Πνεύματος χάριτι εὐωδίασας· διό καί ἡμεῖς, ὡς

θερμόν προστάτην σε κεκτημένοι, δεόμεθά σου ἐκτενῶς, ἵνα πρεσβεύεις Χριστῷ, ὅπως ἵλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρα τῆς κρίσεως.

Ἦχος δ΄.

Πηγήν ἰαμάτων κεκτημένος, Ἀθλητά Ἀναστάσιε, τάς ἰάσεις ἑκάστοτε, τοῖς δεομένοις παρέχεις, ὡς ἀπείρων δωρεῶν ἀξιωθείς, παρά τῆς ἀεννάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ· οὗ καί τῶν παθημάτων κοινωνός γενόμενος, ἀσκηταῖς καί μάρτυσι συγχωρεύης αἰώνια· οἶδε γάρ δοξάζειν τοῖς αὐτόν ἀντιδοξάζοντας, καί τά βραβεῖα παρέχειν τοῖς ὑπέρ αὐτοῦ ἠθληκόσιν· ὡς ἔχων οὖν παῤῥησίαν μεγίστην πρός αὐτόν· πρέσβευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Στίφη Ὁσίων καί Μαρτύρων, τήν ἔνδοξον ἄθλησιν Ἀναστασίου τοῦ νέου ἐθαύμασαν, καταπλαγέντα τήν ἀκλινῆ καρτερίαν αὐτοῦ· χοροί τε Ἀγγέλων ἐπεκρότησαν ἐπαξίως, καί παραλαβόντες τήν ἀοίδιμον τοῦ Μάρτυρος ψυχήν, μοναῖς αἰωνιζούσαις χαρμοσύνως ἐντεθείκασιν· ἥ καί λαμπρῶς παρισταμένη τῷ τρισακτίνῳ τῆς Τριάδος φωτί, ὑπέρ τοῦ κόσμου πρεσβεύει τοῦ λυτρωθῆναι, ἐπηρείας τοῦ ἀλάστορος.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οἱ πιστοί κατά χρέος, τήν πόλιν τήν ἄσειστον, τό τεῖχος τό ἄῤῥηκτον, τήν ἀῤῥαγῆ προστασίαν, καί καταφυγή τῶν ψυχῶν ἡμῶν.

Εἶτα αἱ συνήθεις εὐχαί παρά τοῦ Ἱερέως.

Εἰς τόν Στίχον, ψάλλομεν Στιχηρά Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἀσκητικούς ἀληθῶς, μαρτυρικούς τε ὑποστάς πόνους Ἅγιε Ἀναστάσιε θεῖε, οἷα ἀδάμας στεῤῥός, πρός τάς παρατάξεις ἐνστησάμενος, ἐχθρῶν τῶν ἀθέων, θέειν εἰδώλοις πειθόντων σε, καί πειρωμένων, σοῦ τόν πύργον τῆς πίστεως, βάλλειν τάχιστα, προσκυνεῖν τε τά ξόανα· σύ δέ ἐνδυναμούμενος, δυνάμει τοῦ Πνεύματος, ᾔσχυνας τούτους ἐμφρόνως, ὁμολογία τῆς πίστεως, Χριστοῦ τοῦ Σωτῆρος, δι᾽ ἧς εὗρες σωτηρίαν καί μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεί ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθηνθήσεται.

Χαίροις τῶν μοναστῶν καλλονή, καί τῶν μαρτύρων τό φαιδρόν ἀγαλλίασμα, ἡ γλῶσσα ἡ ὀξυτάτη, ὁ διαυγῆς ὀφθαλμός, ἐν Περσίδι τόπῳ· ὥσπερ ἥλιος, λαμπρῶς ἀπαστράψας, ἐνθέοις Μάκαρ χαρίσμασι, καθωραΐσας τήν ψυχήν σύν τῷ σώματι, ἀπαθείᾳ τε καί πολλῇ ὁσιότητι· χαίροις στύλε τῆς πίστεως, καί τοίχος ἀκράδαντος, κήρυξ Τριάδος τῆς θείας, Πατρός, Υἱοῦ τε και Πνεύματος· ᾗ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις ὡς νικητής τῶν παθῶν, καί τῶν ἐχθρῶν τοῦ χριστωνύμου πληρώματος· ὡς λύκων ἠγριωμένων

ἐφορμησάντων ἐν σοί, ἐν Παλαιστίνῃ Μάκαρ ἡσυχάζοντι· ἐν ᾗ καί τό μέλι, τῆς ἀρετῆς ἐργαζόμενος, ἐπιστηρίζων τούς σοί ἅμα ἐτύγχανες· καί βοῶν αὐτοῖς, μετά θάρσους ἀντίστητε· μή ὅλως δειλανδρείσητε, πρός πίστην τήν ἔνθεον, ἀλλά τό σῶμα προδόντες, ψυχάς Κυρίῳ προσάξωμεν· παρ' οὗ ἡ εἰρήνη, καί ἡ ἄφεσις σφαλμάτων, καί μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν φιλεόρτων τό σύστημα, δεῦτε πνευματικῶς εὐφρανθῶμεν καί πανηγυρίσωμεν· ἰδού γάρ ἐξέλεμψεν ἡ φαιδρά, καί πάμφωτος μνήμη τοῦ ἐκ Περσίδος ἐν Μάρτυσιν Ἀναστασίου· ὅς ἐν ἀσκήσει τήν σάρκα νεκρώσας, τῷ μαρτυρικῷ στέφει κεκόσμηται· διό καί ἡ σορός τῶν θείων Λειψάνων αὐτοῦ, ἀφθόνως πηγάζει, τοῖς πιστοῖς τά ἰάματα, προσιοῦσι μετά πόθου, καί πιστῶς ἑορτάζουσι τήν ἔνδοξον αὐτοῦ ἄθλησιν· οὗ ταῖς πρεσβείαις Χριστέ, ἐλέησον καί σῶσον τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τόν Θεόν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμόν τῶν πταισμάτων, νῦν τάς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τό Τρισάγιον· καί τό Ἀπολυτίκιον.

Ἦχος δ΄. Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής.

Ὡς τῶν νοσοῦντων ὁ ἄμισθος ἰατρός, καί τῶν ἐν κινδύνοις ἀπροσμάχητος βοηθός· θλιβομένων τε θερμός ὑπερασπιστής, καί τῶν ἐν παντοίαις ἀνάγκαις ὑπέρμαχος, Ὁσιομάρτυς ἐκ Περσίδος Ἀναστάσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

Δόξα. Τό αὐτό.Καί νῦν.

Τό ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καί Ἀγγέλοις ἄγνωστον μυστήριον, διά σοῦ Θεοτόκε τοῖς ἐπί γῆς πεφανέρωται, Θεός ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καί Σταυρόν ἑκουσίως ὑπέρ ἡμῶν καταδεξάμενος· δι᾽ οὗ ἀναστήσας τόν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τάς ψυχάς ἡμῶν.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν· Κάθισμα.

Ἦχος α΄. Τόν τάφον σου Σωτῆρ.

Ἐν ὕμνοις καί ᾠδαῖς, τήν ὑπέρφωτον μνήμην, τιμήσωμεν πιστοί, Ἀναστασίου τοῦ θείου· καθεῖλε γάρ στεῤῥότατα, τῶν βαρβάρων τό φρύαγμα, δυναμούμενος, τῇ τοῦ Δεσπότου ἰσχύϊ, ὑπέρ οὗ ἀθλῶν, τήν κεφαλήν ἀπετμήθη, δι᾽ ὅ καί δεδόξασται.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Μορφῇ τῇ καθ᾽ ἡμᾶς, γεννηθείς ἀποῤῥήτως, ἐκ σπλάγχνων σου Ἁγνή, ὁ τῶν ὅλων Δεσπότης, ἡμᾶς ἀνεμορφώσατο, καί λαμπρύνας ἐθέωσεν. Ὅν ἱκέτευε,

εὐλογημένη Μαρία, πάσης θλίψεως, καί αἰωνίων βασάνων, ῥυσθῆναι τούς δούλους σου.

Μετά τήν β΄ Στιχολογίαν· Κάθισμα.
Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Ὁσίοις και μάρτυσι, συνεπαγάλλη σοφέ, ἐκχέας τό αἷμά σου, ὑπέρ Χριστοῦ τοῦ Θεοῦ· Ἀναστάσιε ἔνδοξε· χάριν οὖν ἰαμάτων ἡ σορός τῶν λειψάνων, βρύει τοῖς προσιοῦσιν εὐλαβείᾳ καί πίστει καί πόθῳ, τήν σήν μνήμην πανηγυρίζουσιν.

Δόξα. Τό αὐτό.Καί νῦν. Θεοτοκίον.
Ἦχος ὁ αὐτός. Ἐπεφάνης σήμερον.

Ἐν τῇ σκέπῃ Πάναγνε, τῇ σῇ Παρθένε, προσφυγόντων δέησιν, προσδεξαμένη παρ’ ἡμῶν, μή διαλίπης πρεσβεύουσα, τῷ φιλανθρώπῳ, σωθῆναι τούς δούλους σου.

Μετά τόν Πολυέλεον· Κάθισμα.
Ἦχος γ΄. Τήν ὡραιότητα.

Ἀγγέλων τάγματα, Μάκαρ ἐθαύμασαν, τήν καρτερίαν σου, ἐν τῇ ἀθλήσει σου· τό σόν γάρ Ἀναστάσιε σεπτόν σῶμα, λόγχῃ ἐπάρη· σπαραγμούς ὑπήνεγκας, μαστιζόμενος ἔφερες χαίρων τε ὑπέμεινες, κεφαλῆς τήν ἀφαίρεσιν, ἵνα τῷ Χριστῷ συμβασιλεύῃς, ὑπέρ ἡμῶν αὐτῷ πρεσβεύων.

Δόξα. Τό αὐτό.Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τά ἐπουράνια φόβῳ ἠγάλλοντο, καί τά ἐπήγεια τρόμῳ ηὐφραίνοντο, ὅτε ἡ ἄχραντος φωνή ὑπῆλθε σοι

Θεοτόκε· μία γάρ πανήγυρις, ἀμφοτέροις ἐπέλαμψεν, ὅτε τόν πρωτόπλαστον, ὁ Δεσπότης ἐῤῥύσατο· δι' ὅ σύν τῷ Ἀγγέλῳ βοῶμεν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Εἶτα τό α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἦχου.

Ἐκ νεότητός μου, πολλά πολεμεῖ με πάθη· ἀλλ' αὐτός ἀντιλαβοῦ, καί σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπό τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρί ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχή ζωοῦται, καί καθάρσει, ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καί νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει, τά τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τήν κτίσιν πρός ζωογονίαν.

Προκείμενον. Ἦχος δ΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεί ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθηνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Εἶτα ἡ Τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, τό, Πᾶσα πνοή.

Εὐαγγέλιον ζήτει ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγίου Δημητρίου.

Ὁ Ν΄ Ψαλμός χῦμα, καί μετ' αὐτόν

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τό ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ὁσιομάρτυς Ἀναστάσιε, Ἀθλοφόρε τοῦ Χριστοῦ γενναιότατε· σύ ἐκ τῆς Περσίδος ὁρμώμενος, ταῖς τῶν σῶν θαυμάτων ἀκτίσιν, ὡς ἥλιος καταφωτίζεις τά πέρατα· καί τούς ἐν νόσοις κατακειμένους λυτροῦσαι, ταῖς πρός Χριστόν ἀπαύστως πρεσβείαις σου.

Οἱ Κανόνες ὡς συνήθως. Πρῶτον ὁ κανών τῆς Ὀκτωήχου μετά τῶν Εἱρμῶν εἰς η΄, καί εἶτα τοῦ Ἁγίου εἰς ς΄.

Ὁ κανών τοῦ Ὁσιομάρτυρος.

Ὠδή α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Τάς ἐπαναστάσεις τῶν παθῶν, καί τῆς ἀγνοίας τόν ζόφον πρεσβείαις σου, μάκαρ διασκέδασον, φωτιστικῇ τῆς ἀπαθείας χάριτι, ὅπως Ὁσιομάρτυς, νῦν ἐπαξίως ὑμνήσω σε.

Ὄρθρῳ λαμπροτάτῳ σου Χριστέ, τῆς Ἀναστάσεως περιλαμπόμενος, ταύτης ὁ ἐπώνυμος, Ἀνατολῆς ἐξορμησθείς ὡς ἥλιος, νῦν τήν Ἐκκλησίαν, περιαυγάζει τοῖς θαύμασι.

Θείας ἀγαπήσεως πλησθείς, καρτερικῶς τάς βασάνους ὑπέμεινας, Μάρτυς Ἀναστάσιε, καί τῷ Χριστῷ, ἀσκητικοῖς ἠγλαϊσμένος κάλλεσι, χαίρων προσηνέχθης, εὐῶδες θῦμα πανάριστε.

Θεοτοκίον.

Ἵλεων γενέσθαι τοῖς πιστοῖς, καί εὐμενῆ Θεομήτορ δυσώπησον, Λόγον ὅν ἐγέννησας, σωματικῶς ἡμῖν ἐπιδημήσαντα· σέ γάρ προστασίαν, καί σωτηρίαν κεκτήμεθα.

Ὠδή γ΄. Ὁ μόνος εἰδώς.

Ἐχύθη παμμάκαρ δαψιλῶς, ἡ χάρις σοῦ τοῖς χείλεσι, καί ποταμούς δογμάτων ἀνέβλυσε, τήν Ἐκκλησίαν Χριστοῦ ἀρδεύοντας, καί πολύχουν φέροντας, τόν καρπόν χριστοκήρυξ, Ὁσιομάρτυς Ἀναστάσιε.

Τήν τρίβον ὁδεύσας τήν στενήν, ἐν πρώτοις δι᾽ ἀσκήσεως, πρός μαρτυρίου κλέος προέκοψας, διά βασάνων τρυφήν εὑράμενος, διά πόνων ἔνδοξε, Μάρτυς Ἀναστάσιε, τήν οὐράνιον τέρψιν δρεπόμενος.

Ὁ πόνος ἀθλήσεως τῆς σῆς, εἰς πᾶσαν ἐξελήλυθε, τήν οἰκουμένην Μάρτυς ἀήττητε· πρός ἁμαρτίαν γάρ μέχρις αἵματος, ἀντικαθιστάμενος, νικηφόρος γέγονας, καί στεφάνῳ τῆς νίκης κεκόσμησαι.

Θεοτοκίον.

Ἐκ σοῦ ἀνεβλάστησεν ἡμῖν, τό ἄνθος τό ἀμάραντον, εὐωδιάζον πᾶσαν τήν ἀνθρωπότητα, τῷ θείῳ μύρῳ τῆς αὐτοῦ φύσεως, ὁ Πατρί συνάναρχος, καί ἐκ σοῦ γενόμενος, ὑπό χρόνον Παρθένε πανάμωμε.

Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Τοῦ Σταυροῦ τῇ δυνάμει καθοπλισθείς, ἀπειλάς τῶν βαρβάρων μή πτοηθείς, προθύμως διήνυσας, τόν

ἀγῶνα Μακάριε· εὐτολμίᾳ ἐλέγξας, αὐτῶν τήν δυσέβειαν· καί σοφῶς ἐκδιδάξας, τοῦ Λόγου τήν σάρκωσιν· ὅθεν τούς στεφάνους, παρ' Αὐτοῦ ἐκομίσω, ἀξίους τῶν πόνων σου, καί ἱδρώτων σου Ἅγιε, Ὁσιομάρτυς Ἀναστάσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐν δόξῃ τελειότητος, ὤφθης ὑπέρτιμος, ὡς θείαις λαμπόμενος, φωταγωγίαις τόν νοῦν· καί γνούς τοῦ Σταυροῦ τήν ἰσχύν, Ὅσιος ἐν ἀσκήσει, καί ἐν αἵματι Μάρτυς, γέγονας θεοφρόνως, Ἀναστάσιε Μάρτυς, διό καί τῶν θαυμάτων ἐν σοί, βλύζει τήν χάριν Χριστός.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐκαίνισας Ἄχραντε, τῷ Θείῳ τόκῳ σου, φθαρεῖσαν ἐν πάθεσι, τῶν γηγενῶν τήν θνητήν οὐσίαν, καί ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρός ζωήν ἀφθαρσίας· ὅθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

ᾨδή δ'. Ὄρος σε τῇ χάριτι.

Οὐδέν σε τῆς πρός Χριστόν ἀγάπης ἐχώρισεν, οὐ τῶν μελῶν ἡ ἐκκοπή, οὐ τῶν βασάνων ἀπειλή, οὐ ξίφος, οὐ θάνατος, ἀλλ' οὐδέ πῦρ, οὐδέ λιμός Ἀναστάσιε, τῆς οὐρανίου χορείας ὁμόσκηνε.

Συντόνως ἐπ' ὤμων τόν σταυρόν σου ἀράμενος, κατηκολούθησας Χριστοῦ, ταῖς σωτηρίοις ἐντολαῖς· και τούτου γενόμενος, ἐκμιμητής μέχρι θανάτου

πανάριστε, νῦν ἀπολαύεις αὐτοῦ τῆς λαμπρότητος.

Θεοτοκίον.

Χαράν σοι σαφῶς οὐρανόθεν ἀφικόμενος, ὁ Ἀρχιστράτηγος Ἁγνή, εὐηγγελίσατο εἰπών· Θεός ἐξελεύσεται, μετά σαρκός, ἐκ σοῦ Παρθένε πανάχραντε, εἰς σωτηρίαν τῶν πόθῳ ὑμνούντων σε.

Ὠδή ε΄. Θεός ὤν εἰρήνης.

Ὁ πάλαι καυχόμενος ἄμετρα πρίν, καί τήν γῆν ἀπειλῶν καταλήψεσθαι, και μάτην φρυαττόμενος, τήν θάλασσαν σοφέ, εἰσάπαν ἐξαλείφειν, ταῖς σαῖς ἀνδραγαθίαις, Ἀναστάσιε Μάρτυς, καταπατεῖται ὁ ἀντίθεος.

Νομίμως ἀθλήσας ὁ Μάρτυς Χριστοῦ, καί νικήσας τῶν ἄθλων τά ἔπαθλα, θαυμάτων τήν ἐνέργειαν, κομίζεται σαφῶς· νόσους γάρ θεραπεύει, καί δαίμονας ἐλαύνει, τοῦ Χριστοῦ τῇ δυνάμει, τερατουργῶν ὁ Ἀναστάσιος.

Θεοτοκίον.

Κατάραν τῆς Εὔας τῆς πάντων μητρός, τῷ σῷ τόκῳ Παρθένε κατήργησας, τῷ κόσμῳ εὐλογίαν, ἀνατείλασα Χριστόν· διό σε γεγηθότες, καί στόματι καί γλώττῃ, Θεοτόκον κυρίως, ὁμολογοῦντες μακαρίζομεν.

Ὠδή ϛ΄. Σπλάγχνων Ἰωνᾶν.

Αἴγλη τοῦ Σταυροῦ, σοφῶς λαμπρυνόμενος, τῆς πλάνης τό ζοφῶδες διέλυσας· καί νενίκηκας,

συμπλακείς τῷ τυράννῳ πανένδοξε· καί χαίρων ἐκομίσω σου τά τρόπαια σοφέ, Μάρτυς Χριστοῦ Ἀναστάσιε, συγχορεύων Μαρτύρων στρατεύμασιν.
Ἄρμα τοῦ Θεοῦ ἐφάνης Ἀναστάσιε, βαστάζων αὐτοῦ τό θεῖον ὄνομα, κατ᾽ ἐνώπιον, τῶν ἀθέων τυράννων θεόληπτε, μή πτοούμενος τήν τούτων ἀγριότητα· σύ γάρ τήν ἀκαταμάχητον, τοῦ Σωτῆρος ἰσχύν ἐνεδέδυσο.

Θεοτοκίον.

Ἅπας ὁ χορός, θεόθεν μυούμενος, ὁ τῶν Προφητῶν σοῦ προηγόρευσε, τό μυστήριον, τῆς ἀφράστου καί θείας συλλήψεως, τῆς ἐκ σοῦ τοῦ Θεοῦ Λόγου Μητροπάρθενε· σύ γάρ τήν ἀληθεστάτην τε, καί ἀρχαίαν βουλήν ἐφανέρωσας.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τῷ οἴκῳ Κύριος τῆς ἐγκρατείας, ἀληθῶς σε ἔθετο, ὥσπερ ἀστέρα ἀπλανῆ, φωταγωγοῦντα τά πέρατα, Ὁσιομάρτυς Παμμάκαρ Ἀναστάσιε.

Ὁ Οἶκος.

Τόν τοῦ Κυρίου ἐραστήν, τῶν μοναστῶν τό κλέος, θαυμάτων τόν ταμίαν Ἀναστάσιον τόν μέγαν, ἀνευφημήσωμεν πιστῶς· οὗτος γάρ τῷ φέγγει τῶν ἀγώνων αὐτοῦ, ὡς ἥλιος ἐξέλαμψε, φωτίζων τούς ἐν σκότει ὑπάρχοντας παθῶν καί ἁμαρτίας, καί ἐκδιώκων τῶν δαιμόνων τήν ζοφεράν πλάνην ἀνενδότως. Διό καί ποταμούς πλουσίων θαυμάτων, ὡς ἐκ κρίνης λογικῆς ἐκβλύζων, πάντων τάς ψυχάς

ῥωννύει τῶν ἐκβοώντων, Ὁσιομάρτυς Παμμάκαρ Ἀναστάσιε.

Συναξάριον.

Τῷ αὐτῷ μηνί ΚΒ΄, μνήμη τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

Στίχ. Ἀναστάσιος ἐν τραχήλῳ τόν βρόχον,
Ὡς λαμπρόν ὅρμον ὡραΐζεται φέρων.
Εἰκάδι δευτερίῃ Ἀναστάσιος βρόχον ἔτλη.

Ὠδή ζ΄. Σέ νοητήν Θεοτόκε κάμινον.

Ὁ Ἀθλητής, τούς πιστούς προτρέπεται, σαφές ὑπόδειγμα δεικνύς, τήν ἀνδρείαν τήν ἑαυτοῦ, θεῖον νῦν μιμήσασθαι, πάθος τό ἑκούσιον, ὑπέρ ἡμῶν ὅ ὑπέμεινεν, ὁ αἰνετός τῶν Πατέρων, Θεός καί ὑπερένδοξος.

Ἰσοσθενής ἡ Τριάς πιστεύεται, τοῖς εὐσεβείας ἐρασταῖς· οἱ γενναῖοι γάρ Ἀθληταί, ταύτης ὑπερήθλησαν, αἵματα ἐκχέοντες, μαρτυρικῶς συμπλεκόμενοι, καί τάς ψυχάς προδιδόντες, σαφῶς καί ἀναιρούμενοι.

Θεοτοκίον.

Χαῖρε σεμνή, τοῦ Ἀδάμ τό κώδιον· ἐξ οὗ προῆλθε ὁ Ποιμήν, ἐνδυσάμενος ἀληθῶς, ὁ ὑπερυψούμενος, ὅλον με τόν ἄνθρωπον, δι' εὐσπλαχνίαν ἀκατάληπτον, ὁ αἰνετός τῶν Πατέρων, Θεός καί ὑπερένδοξος.

Ὠδή η΄. Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Γῆθεν σύ πρός οὐρανούς στεφανηφόρος, Ἀναστάσιε

Μάρτυς ἀνέπτης, τήν ἀπάτης ἅπασαν, τῶν δαιμόνων διεκφυγών, καί πατήσας τῶν εἰδώλων τά σεβάσματα· διό καί κραυγάζεις νῦν γηθόμενος· Εὐλογείτω ἡ κτίσις πᾶσα τόν Κύριον, καί ὑπερυψούτω, εἰς πάντας του αἰῶνας.

Ἔβαψας μαρτυρικῶν σου ἐξ αἱμάτων, τήν σήν χλαῖνα πανόλβιε Μάρτυς· τό Σταυροῦ δέ σύμβολο, σκῆπτρον φέρων σύν τῷ Χριστῷ, βασιλεύεις εἰς αἰῶνας Ἀναστάσιε· καί νῦν ἀναμέλπεις εὐφραινόμενος· Εὐλογείτω πᾶσα ἡ κτίσις τόν Κύριον, καί ὑπερυψούτω, εἰς πάντας τούς αἰῶνας.

Θεοτοκίον.

Ὁ ταῖς Ἀρχαγγελικαῖς ὑμνολογίαις, δοξαζόμενος πλούσιος Λόγος, δι' ἡμᾶς ἐπτώχευσε, σέ Μητέρα τήν καλλονήν, Ἰακώβ εὐλογημένην ἐκλεξάμενος· διό ἀνυμνοῦντές σε κραυγάζομεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τόν Κύριον, καί ὑπερυψούτω, εἰς πάντας τούς αἰῶνας.

Ὠδή θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Ῥείθροις σῶν αἱμάτων ἔνδοξε, τήν τῶν εἰδώλων πλάνην πᾶσαν κατέσβεσας· τό δέ πλήρωμα, τῆς Ἐκκλησίας ἐφαίδρυνας· ὑπέρ ἧς ἱκετεύων πανάριστε, μή παύσῃ τόν Δεσπότην, ἵνα σέ πάντες μακαρίζωμεν.

Ὤ τῆς ὑπέρ λόγον δόξης σου, καί τῆς ἀῤῥήτου θείας ὄντως ἐλλάμψεως! ἧς μετέσχηκας, ὡς νικητής Ἀναστάσιε, τῷ Δεσπότῃ Χριστῷ παριστάμενος· ὅν καί νῦν ἐκδυσώπει, ὑπέρ ἡμῶν τῶν ἀνυμνούντων σε.

Θεοτοκίον.

Ὢ τοῦ φοβεροῦ σου θαύματος! Σύ γάρ Παρθένε Θεοτόκε μυστήριον, τό πρό γενεῶν, καί πρό αἰώνων ἀπόκρυφον, ἐν Θεῷ τῷ τά σύμπαντα κτίσαντι, τεκοῦσα Θεόν Λόγον, ἀνερμηνεύτως ἐφανέρωσας.

Εἶτα αἱ Καταβασίαι τῆς περιόδου. Τά Μεγαλυνάρια τῆς Θεοτόκου καί ἡ θ΄ ᾠδή τῶν Καταβασιῶν.

Ἐξαποστειλάριον.

Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Δυάς φωτοειδέστατος, σήμερον ἀπαστράπτουσα, φαιδρότερον τοῦ ἡλίου, πᾶσαν τήν κτίσιν φωτίζει· Τιμόθεος Ἀπόστολος, τῶν Ἀποστόλων σύνθρονος, καί θεῖος Ἀναστάσιος, τῶν Μοναστῶν ἡ τερπνότης, καί τῶν Μαρτύρων ἡ δόξα.

Θεοτοκίον. Ὅμοιον.

Πανάμωμε Μητρόθεε, τό μέγα περιήχημα, τῶν Ἀποστόλων Μαρτύρων, καί Προφητῶν καί Ὁσίων, τόν σόν Υἱόν καί Κύριον, ἱλέωσαι τοῖς δούλοις σου, ἡμῖν Θεογεννήτρια, ὅταν καθίσῃ τοῦ κρῖναι, τά κατ' ἀξίαν ἑκάστῳ.

Εἰς τούς Αἴνους. Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια τοῦ Ἁγίου δ

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὡς ἀκαθαίρετον πύργον, ταῖς τοῦ ἐχθροῦ προσβολαῖς, ἀναφανέντα ὄντως, ὀρθοδόξων τε σθένος, τεῖχος καί βεβαίαν, σκέπην ἡμῶν, Ἀναστάσιον μέλψωμεν,

πρεσβεύῃ Κυρίῳ ὑπέρ ἡμῶν, τῶν τελούντων τό μνημόσυνον.

Δεῦτε πιστοί συνελθόντες, ὕμνοις τιμήσωμεν· Ἀναστάσιον θεῖον, τόν ἀσκήσει μέν πρῶτον, εἶτα δέ ἀθλήσει τόν πτερνιστήν, καταβαλόντα διάβολον· καί συμπολίτην ὀφθέντα Μάρτυσι νῦν καί Ἀγγέλων ἰσοστάσιον.

Πυρακτωθείς τῇ ἀγάπῃ, τοῦ Παντοκράτορος· Ἀναστάσιε Μάκαρ, ἡδονάς τοῦ σαρκίου, κατέσβεσας ἐμφρόνως, δρόσῳ σοφέ, πόνων τῶν τῆς ἀσκήσεως, καί τῆς ἀθλήσεως στέφει ὡραϊσθείς, Ἀγγέλων συνεφραίνῃ χοροῖς.

Διπλῆν χαράν ἐσχικότες, τῇ ἀναστάσει Χριστοῦ, καί τῇ σεπτῇ ἀθλήσει, Ἀναστασίου τοῦ θείου· διπλούς οὖν καί τούς ὕμνους, προσάξωμεν νῦν, καί θερμῶς ἀνακράξωμεν· σῷσον ἡμᾶς Πανάγιε Βασιλεύ, Ἀναστασίου ταῖς ἐντεύξεσιν.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν Μοναστῶν τά πλήθη, τόν καθηγητήν σε τιμῶμεν Ἀναστάσιε Ὅσιε· διά γάρ σοῦ τήν τρίβον, τήν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν· Μακάριος εἶ, τῷ Χριστῷ δουλεύσας, καί ἐχθροῦ θριαμβεύσας τήν δύναμιν, Ἀγγέλων συνόμιλε, Ὁσίων ὁμόσκηνε καί Δικαίων· μεθ’ ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.